ΙΩ. Μακραὶ δὲ χῶρός ἐστ' ἐκεῖ κεκλημένος ;
ΚΡ. τί δ' ἱστορεῖς τόδ'; ὥς μ' ἀνέμνησάς τινος.
ΙΩ. τιμᾷ σφε Πύθιος ἀστραπαί τε Πύθιαι ;
ΚΡ. τιμᾷ γ' ἄτιμ'· ὡς μήποτ' ὤφελόν σφ' ἰδεῖν.
ΙΩ. τί δέ; στυγεῖς σὺ τοῦ θεοῦ τὰ φίλτατα;
ΚΡ. οὐδέν· ξύνοιδ' ἄντροισιν αἰσχύνην τινά.
ΙΩ. πόσις δὲ τίς σ' ἔγημ' Ἀθηναίων, γύναι ;
ΚΡ. οὐκ ἀστὸς, ἀλλ' ἐπακτὸς ἐξ ἄλλης χθονός.
ΙΩ. τίς; εὐγενῆ νιν δεῖ πεφυκέναι τινά.
ΚΡ. Ξοῦθος, πεφυκὼς Αἰόλου Διός τ' ἄπο.
ΙΩ. καὶ πῶς ξένος σ' ὢν ἔσχεν οὖσαν ἐγγενῆ;
ΚΡ. Εὔβοι' Ἀθήναις ἔστι τις γείτων πόλις.
ΙΩ. ὅροις ὑγροῖσιν, ὡς λέγουσ', ὡρισμένη.
ΚΡ. ταύτην ἔπερσε Κεκροπίδαις κοινῷ δορί.
ΙΩ. ἐπίκουρος ἐλθὼν, κᾆτα σὸν γαμεῖ λέχος;
ΚΡ. φερνάς γε πολέμου καὶ δορὸς λαβὼν γέρας.
ΙΩ. σὺν ἀνδρὶ δ' ἥκεις ἢ μόνη χρηστήρια ;
ΚΡ. σὺν ἀνδρί. σηκοὺς δ' ἐνστρέφει Τροφωνίου.
ΙΩ. πότερα θεατὴς, ἢ χάριν μαντευμάτων;
ΚΡ. κείνου τε Φοίβου θ' ἓν θέλων μαθεῖν ἔπος.
ΙΩ. καρποῦ δ' ὑπὲρ γῆς ἥκετ', ἢ παίδων πέρι;
ΚΡ. ἄπαιδές ἐσμεν, χρόνι' ἔχοντ' εὐνήματα.
ΙΩ. οὐδ' ἔτεκες οὐδὲν πώποτ', ἀλλ' ἄτεκνος εἶ;
ΚΡ. ὁ Φοῖβος οἶδε τὴν ἐμὴν ἀπαιδίαν.
ΙΩ. ὦ τλῆμον, ὡς τἄλλ' εὐτυχοῦσ' οὐκ εὐτυχεῖς.
ΚΡ. σὺ δ' εἶ τίς; ὥς σου τὴν τεκοῦσαν ὤλβισα.
ΙΩ. τοῦ θεοῦ καλοῦμαι δοῦλος εἰμί τ', ὦ γύναι.
ΚΡ. ἀνάθημα πόλεως, ἤ τινος πραθεὶς ὕπο;
ΙΩ. οὐκ οἶδα, πλὴν ἕν, Λοξίου κεκλήμεθα.
ΚΡ. ἡμεῖς σ' ἄρ' αὖθις, ὦ ξέν', ἀντοικτείρομεν.
ΙΩ. ὡς μὴ εἰδόθ' ἥτις μ' ἔτεκεν ἐξ ὅτου τ' ἔφυν.
ΚΡ. ναοῖσι δ' οἰκεῖς τοισίδ', ἢ κατὰ στέγας;
ΙΩ. ἅπαν θεοῦ μοι δῶμ', ἵν' ἂν λάβῃ μ' ὕπνος.
ΚΡ. παῖς δ' ὢν ἀφίκου ναὸν, ἢ νεανίας ;